eul_wid: cbm-aw

*Εὐριπίδης* · Euripides

# Cyclops

*Κύκλωψ*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δράμα Ἀττικόν* Attic Drama
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

ΣΙΛΗΝΟΣ
Ὦ Βρόμιε, διὰ σὲ μυρίους ἔχω πόνους
νῦν χὤτ’ ἐν ἥβηι τοὐμὸν εὐσθένει δέμας·
πρῶτον μὲν ἡνίκ’ ἐμμανὴς Ἥρας ὕπο
Νύμφας ὀρείας ἐκλιπὼν ᾤχου τροφούς·
ἔπειτά γ’ ἀμφὶ γηγενῆ μάχην δορὸς
ἐνδέξιος σῶι ποδὶ παρασπιστὴς βεβὼς
Ἐγκέλαδον ἰτέαν ἐς μέσην θενὼν δορὶ
ἔκτεινα—φέρ’ ἴδω, τοῦτ’ ἰδὼν ὄναρ λέγω;
οὐ μὰ Δί’, ἐπεὶ καὶ σκῦλ’ ἔδειξα Βακχίωι.
καὶ νῦν ἐκείνων μείζον’ ἐξαντλῶ πόνον.
ἐπεὶ γὰρ Ἥρα σοι γένος Τυρσηνικὸν
ληιστῶν ἐπῶρσεν, ὡς ὁδηθείης μακράν,
〈ἐγὼ〉 πυθόμενος σὺν τέκνοισι ναυστολῶ
σέθεν κατὰ ζήτησιν. ἐν πρύμνηι δ’ ἄκραι
αὐτὸς λαβὼν ηὔθυνον ἀμφῆρες δόρυ,
παῖδες δ’ 〈ἐπ’〉 ἐρετμοῖς ἥμενοι γλαυκὴν ἅλα
ῥοθίοισι λευκαίνοντες ἐζήτουν σ’, ἄναξ.
ἤδη δὲ Μαλέας πλησίον πεπλευκότας
ἀπηλιώτης ἄνεμος ἐμπνεύσας δορὶ
ἐξέβαλεν ἡμᾶς τήνδ’ ἐς Αἰτναίαν πέτραν,
ἵν’ οἱ μονῶπες ποντίου παῖδες θεοῦ
Κύκλωπες οἰκοῦς’ ἄντρ’ ἔρημ’ ἀνδροκτόνοι.
τούτων ἑνὸς ληφθέντες ἐσμὲν ἐν δόμοις
δοῦλοι· καλοῦσι δ’ αὐτὸν ὧι λατρεύομεν

Πολύφημον· ἀντὶ δ’ εὐίων βακχευμάτων ποίμνας Κύκλωπος ἀνοσίου ποιμαίνομεν.
παῖδες μὲν οὖν μοι κλειτύων ἐν ἐσχάτοις
νέμουσι μῆλα νέα νέοι πεφυκότες,
ἐγὼ δὲ πληροῦν πίστρα καὶ σαίρειν στέγας
μένων τέταγμαι τάσδε, τῶιδε δυσσεβεῖ
Κύκλωπι δείπνων ἀνοσίων διάκονος.
καὶ νῦν, τὰ προσταχθέντ’, ἀναγκαίως ἔχει
σαίρειν σιδηρᾶι τῆιδέ μ’ ἁρπάγηι δόμους,
ὡς τόν τ’ ἀπόντα δεσπότην Κύκλωπ’ ἐμὸν
καθαροῖσιν ἄντροις μῆλά τ’ ἐσδεχώμεθα.
ἤδη δὲ παῖδας προσνέμοντας εἰσορῶ
ποίμνας. τί ταῦτα; μῶν κρότος σικινίδων
ὁμοῖος ὑμῖν νῦν τε χὤτε Βακχίωι
κῶμος συνασπίζοντες Ἀλθαίας δόμους
προσῆιτ’ ἀοιδαῖς βαρβίτων σαυλούμενοι;
ΧΟΡΟΣ
παῖ γενναίων μὲν πατέρων
γενναίων δ’ ἐκ τοκάδων,
πᾶι δή μοι νίσηι σκοπέλους;
οὐ τᾶιδ’ ὑπήνεμος αὔ-
ρα καὶ ποιηρὰ βοτάνα,
δινᾶέν θ’ ὕδωρ ποταμῶν
ἐν πίστραις κεῖται πέλας ἄν-
τρων, οὗ σοι βλαχαὶ τεκέων;
ψύττ’· οὐ τᾶιδ’, οὔ; οὐ τᾶιδε νεμῆι κλειτὺν δροσεράν; ὠή, ῥίψω πέτρον τάχα σου·
ὕπαγ’ ὦ ὕπαγ’ ὦ κεράστα
〈πρὸσ〉 μηλοβότα στασιωρὸν
Κύκλωπος ἀγροβάτα.
σπαργῶντας μαστοὺς χάλασον·
δέξαι θηλὰς πορίσας’
οὓς λείπεις ἀρνῶν θαλάμοις.
ποθοῦσί ς’ ἁμερόκοι-
τοι βλαχαὶ σμικρῶν τεκέων.
εἰς αὐλὰν πότ’ ἀμφιβαίνεις
ποιηροὺς λιποῦσα νομοὺς
Αἰτναίων εἴσω σκοπελῶν;
οὐ τάδε Βρόμιος, οὐ τάδε χοροὶ
Βάκχαι τε θυρσοφόροι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐ τυμπάνων ἀλαλαγμοί,
67 οὐκ οἴνου χλωραὶ σταγόνες
66 κρήναις παρ’ ὑδροχύτοις·
68.1 οὐδ’ ἐν Νύσαι μετὰ Νυμ-
68.2 φᾶν ἴακχον ἴακχον ὠι-
70.1 δὰν μέλπω πρὸς τὰν Ἀφροδί-
70.2 ταν, ἃν θηρεύων πετόμαν
70.3 Βάκχαις σὺν λευκόποσιν.
70.4 ὦ φίλος ὦ φίλε Βακχεῖε
70.5 ποῖ οἰοπολεῖς
75.1 ξανθὰν χαίταν σείεις;
75.2 ἐγὼ δ’ ὁ σὸς πρόπολος
75.3 Κύκλωπι θητεύω
75.4 τῶι μονοδέρκται δοῦλος ἀλαίνων
80.1 σὺν τᾶιδε τράγου χλαίναι μελέαι
80.2 σᾶς χωρὶς φιλίας.
80.3 Σι. σιγήσατ’, ὦ τέκν’, ἄντρα δ’ ἐς πετρηρεφῆ
80.4 ποίμνας ἀθροῖσαι προσπόλους κελεύσατε.
80.5 Χο. χωρεῖτ’· ἀτὰρ δὴ τίνα, πάτερ, σπουδὴν ἔχεις;
85.1 Σι. ὁρῶ πρὸς ἀκταῖς ναὸς Ἑλλάδος σκάφος
85.2 κώπης τ’ ἄνακτας σὺν στρατηλάτηι τινὶ
85.3 στείχοντας ἐς τόδ’ ἄντρον· ἀμφὶ δ’ αὐχέσιν
85.4 τεύχη φέρονται κενά, βορᾶς κεχρημένοι,
85.5 κρωσσούς θ’ ὑδρηλούς. ὦ ταλαίπωροι ξένοι·
90.1 τίνες ποτ’ εἰσίν; οὐκ ἴσασι δεσπότην
90.2 Πολύφημον οἷός ἐστιν ἄξενόν τε γῆν
90.3 τήνδ’ ἐμβεβῶτες καὶ Κυκλωπίαν γνάθον
90.4 τὴν ἀνδροβρῶτα δυστυχῶς ἀφιγμένοι.
90.5 ἀλλ’ ἥσυχοι γίγνεσθ’, ἵν’ ἐκπυθώμεθα
95.1 πόθεν πάρεισι Σικελὸν Αἰτναῖον πάγον.
95.2 ΟΔΥΣΣΕΥΣ
96.1 ξένοι, φράσαιτ’ ἂν νᾶμα ποτάμιον πόθεν
96.2 δίψης ἄκος λάβοιμεν εἴ τέ τις θέλει
96.3 βορὰν ὀδῆσαι ναυτίλοις κεχρημένοις;
96.4 ⟨ἔα·⟩
99.1 τί χρῆμα; Βρομίου πόλιν ἔοιγμεν ἐσβαλεῖν· Σατύρων πρὸς ἄντροις τόνδ’ ὅμιλον εἰσορῶ.
99.2 χαίρειν προσεῖπα πρῶτα τὸν γεραίτατον.
99.3 Σι. χαῖρ’, ὦ ξέν’, ὅστις δ’ εἶ φράσον πάτραν τε σήν. Οδ. Ἴθακος Ὀδυσσεύς, γῆς Κεφαλλήνων ἄναξ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σι. οἶδ’ ἄνδρα, κρόταλον δριμύ, Σισύφου γένος.
Οδ. ἐκεῖνος αὐτός εἰμι· λοιδόρει δὲ μή.
Σι. πόθεν Σικελίαν τήνδε ναυστολῶν πάρει;
Οδ. ἐξ Ἰλίου γε κἀπὸ Τρωϊκῶν πόνων.
Σι. πῶς; πορθμὸν οὐκ ἤιδησθα πατρώιας χθονός;
Οδ. ἀνέμων θύελλαι δεῦρό μ’ ἥρπασαν βίαι.
Σι. παπαῖ· τὸν αὐτὸν δαίμον’ ἐξαντλεῖς ἐμοί.
Οδ. ἦ καὶ σὺ δεῦρο πρὸς βίαν ἀπεστάλης;
Σι. ληιστὰς διώκων οἳ Βρόμιον ἀνήρπασαν.
Οδ. τίς δ’ ἥδε χώρα καὶ τίνες ναίουσί νιν;
Σι. Αἰτναῖος ὄχθος Σικελίας ὑπέρτατος.
Οδ. τείχη δὲ ποῦ ’στι καὶ πόλεως πυργώματα;
Σι. οὐκ ἔστ’· ἔρημοι πρῶνες ἀνθρώπων, ξένε.
Οδ. τίνες δ’ ἔχουσι γαῖαν; ἦ θηρῶν γένος;
Σι. Κύκλωπες, ἄντρ’ ἔχοντες, οὐ στέγας δόμων.
Οδ. τίνος κλύοντες; ἢ δεδήμευται κράτος;
Σι. μονάδες· ἀκούει δ’ οὐδὲν οὐδεὶς οὐδενός.
Οδ. σπείρουσι δ’—ἢ τῶι ζῶσι; —Δήμητρος στάχυν;
Σι. γάλακτι καὶ τυροῖσι καὶ μήλων βορᾶι.
Οδ. Βρομίου δὲ πῶμ’ ἔχουσιν, ἀμπέλου ῥοάς;
Σι. ἥκιστα· τοιγὰρ ἄχορον οἰκοῦσι χθόνα.
Οδ. φιλόξενοι δὲ χὤσιοι περὶ ξένους;
Σι. γλυκύτατά φασι τὰ κρέα τοὺς ξένους φορεῖν.
Οδ. τί φῄς; βορᾶι χαίρουσιν ἀνθρωποκτόνωι;
Σι. οὐδεὶς μολὼν δεῦρ’ ὅστις οὐ κατεσφάγη.
Οδ. αὐτὸς δὲ Κύκλωψ ποῦ ’στιν; ἦ δόμων ἔσω;
Σι. φροῦδος, πρὸς Αἴτνηι θῆρας ἰχνεύων κυσίν.
Οδ. οἶσθ’ οὖν ὃ δρᾶσον, ὡς ἀπαίρωμεν χθονός. Σι. οὐκ οἶδ’, Ὀδυσσεῦ· πᾶν δέ σοι δρώιημεν ἄν.
Οδ. ὄδησον ἡμῖν σῖτον, οὗ σπανίζομεν.
Σι. οὐκ ἔστιν, ὥσπερ εἶπον, ἄλλο πλὴν κρέας.
Οδ. ἀλλ’ ἡδὺ λιμοῦ καὶ τόδε σχετήριον.
Σι. καὶ τυρὸς ὀπίας ἔστι καὶ βοὸς γάλα.
Οδ. ἐκφέρετε· φῶς γὰρ ἐμπολήμασιν πρέπει.
Σι. σὺ δ’ ἀντιδώσεις, εἰπέ μοι, χρυσὸν πόσον;
Οδ. οὐ χρυσὸν ἀλλὰ πῶμα Διονύσου φέρω.
Σι. ὦ φίλτατ’ εἰπών, οὗ σπανίζομεν πάλαι.
Οδ. καὶ μὴν Μάρων μοι πῶμ’ ἔδωκε, παῖς θεοῦ.
Σι. ὃν ἐξέθρεψα ταῖσδ’ ἐγώ ποτ’ ἀγκάλαις;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Οδ. ὁ Βακχίου παῖς, ὡς σαφέστερον μάθηις.
Σι. ἐν σέλμασιν νεώς ἐστιν ἢ φέρεις σύ νιν;
Οδ. ὅδ’ ἀσκὸς ὃς κεύθει νιν, ὡς ὁρᾶις, γέρον.
Σι. οὗτος μὲν οὐδ’ ἂν τὴν γνάθον πλήσειέ μου.
⟨Οδ.⟩
⟨Σι.⟩
Οδ. ναί· δὶς τόσον πῶμ’ ὅσον ἂν ἐξ ἀσκοῦ ῥυῆι.
Σι. καλήν γε κρήνην εἶπας ἡδεῖάν τ’ ἐμοί.
Οδ. βούληι σε γεύσω πρῶτον ἄκρατον μέθυ; Σι. δίκαιον· ἦ γὰρ γεῦμα τὴν ὠνὴν καλεῖ.
Οδ. καὶ μὴν ἐφέλκω καὶ ποτῆρ’ ἀσκοῦ μέτα.
Σι. φέρ’ ἐγκάναξον, ὡς ἀναμνησθῶ πιών.
Οδ. ἰδού. Σι. παπαιάξ, ὡς καλὴν ὀσμὴν ἔχει.
Οδ. εἶδες γὰρ αὐτήν; Σι. οὐ μὰ Δί’, ἀλλ’ ὀσφραίνομαι.
Οδ. γεῦσαί νυν, ὡς ἂν μὴ λόγωι ’παινῆις μόνον.
Σι. βαβαί· χορεῦσαι παρακαλεῖ μ’ ὁ Βάκχιος.
ἆ ἆ ἆ.
Οδ. μῶν τὸν λάρυγγα διεκάναξέ σου καλῶς;
Σι. ὥστ’ εἰς ἄκρους γε τοὺς ὄνυχας ἀφίκετο.
Οδ. πρὸς τῶιδε μέντοι καὶ νόμισμα δώσομεν. Σι. χάλα τὸν ἀσκὸν μόνον· ἔα τὸ χρυσίον.
Οδ. ἐκφέρετέ νυν τυρεύματ’ ἢ μήλων τόκον.
Σι. δράσω τάδ’, ὀλίγον φροντίσας γε δεσποτῶν.
ὡς ἐκπιών γ’ ἂν κύλικα μαινοίμην μίαν,
πάντων Κυκλώπων ἀντιδοὺς βοσκήματα
ῥίψας τ’ ἐς ἅλμην Λευκάδος πέτρας ἄπο
ἅπαξ μεθυσθεὶς καταβαλών τε τὰς ὀφρῦς.
ὡς ὅς γε πίνων μὴ γέγηθε μαίνεται·
ἵν’ ἔστι τουτί τ’ ὀρθὸν ἐξανιστάναι
μαστοῦ τε δραγμὸς καὶ παρεσκευασμένου
ψαῦσαι χεροῖν λειμῶνος ὀρχηστύς θ’ ἅμα
κακῶν τε λῆστις. εἶτ’ ἐγὼ ⟨οὐ⟩ κυνήσομαι
τοιόνδε πῶμα, τὴν Κύκλωπος ἀμαθίαν
κλαίειν κελεύων καὶ τὸν ὀφθαλμὸν μέσον;
Χο. ἄκου’, ’Οδυσσεῦ· διαλαλήσωμέν τί σοι.
Οδ. καὶ μὴν φίλοι γε προσφέρεσθε πρὸς φίλον.
Χο. ἐλάβετε Τροίαν τὴν ‘Ελένην τε χειρίαν;
Οδ. καὶ πάντα γ’ οἶκον Πριαμιδῶν ἐπέρσαμεν.
Χο. οὔκουν, ἐπειδὴ τὴν νεᾶνιν εἵλετε,
ἅπαντες αὐτὴν διεκροτήσατ’ ἐν μέρει,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπεί γε πολλοῖς ἥδεται γαμουμένη,
τὴν προδότιν, ἣ τοὺς θυλάκους τοὺς ποικίλους
περὶ τοῖν σκελοῖν ἰδοῦσα καὶ τὸν χρύσεον
κλωιὸν φοροῦντα περὶ μέσον τὸν αὐχένα
ἐξεπτοήθη, Μενέλεων ἀνθρώπιον
λῷστον λιποῦσα; μηδαμοῦ γένος ποτὲ
φῦναι γυναικῶν ὤφελ’, εἰ μὴ ’μοὶ μόνωι.
Σι. ἰδού· τάδ’ ὑμῖν ποιμνίων βοσκήματα, ἄναξ Ὀδυσσεῦ, μηκάδων ἀρνῶν τροφαί,
πηκτοῦ γάλακτός τ’ οὐ σπάνια τυρεύματα.
φέρεσθε· χωρεῖθ’ ὡς τάχιστ’ ἄντρων ἄπο,
βότρυος ἐμοὶ πῶμ’ ἀντιδόντες εὐίου.
οἴμοι· Κύκλωψ ὅδ’ ἔρχεται· τί δράσομεν;
Οδ. ἀπολώλαμέν τἄρ’, ὦ γέρον· ποῖ χρὴ φυγεῖν;
Σι. ἔσω πέτρας τῆσδ’, οὗπερ ἂν λάθοιτέ γε.
Οδ. δεινὸν τόδ’ εἶπας, ἀρκύων μολεῖν ἔσω.
Σι. οὐ δεινόν· εἰσὶ καταφυγαὶ πολλαὶ πέτρας.
Οδ. οὐ δῆτ’· ἐπεί τἂν μεγάλα γ’ ἡ Τροία στένοι,
εἰ φευξόμεσθ’ ἕν’ ἄνδρα, μυρίον δ’ ὄχλον Φρυγῶν ὑπέστην πολλάκις σὺν ἀσπίδι.
ἀλλ’, εἰ θανεῖν δεῖ, κατθανούμεθ’ εὐγενῶς
ἢ ζῶντες αἶνον τὸν πάρος συσσώσομεν.
ΚΥΚΛΩΨ
ἄνεχε πάρεχε· τί τάδε; τίς ἡ ῥαιθυμία;
τί βακχιάζετ’; οὐχὶ Διόνυσος τάδε,
οὐ κρόταλα χαλκοῦ τυμπάνων τ’ ἀράγματα.
πῶς μοι κατ’ ἄντρα νεόγονα βλαστήματα;
ἦ πρός τε μαστοῖς εἰσι χὐπὸ μητέρων
πλευρὰς τρέχουσι, σχοινίνοις τ’ ἐν τεύχεσιν
πλήρωμα τυρῶν ἐστιν ἐξημελγμένον;
τί φάτε, τί λέγετε; τάχα τις ὑμῶν τῶι ξύλωι
δάκρυα μεθήσει. βλέπετ’ ἄνω καὶ μὴ κάτω.
Χο. ἰδού· πρὸς αὐτὸν τὸν Δί’ ἀνακεκύφαμεν
καὶ τἄστρα καὶ τὸν Ὠρίωνα δέρκομαι.
Κυ. ἄριστόν ἐστιν εὖ παρεσκευασμένον;
Χο. πάρεστιν· ὁ φάρυγξ εὐτρεπὴς ἔστω μόνον. Κυ. ἦ καὶ γάλακτός εἰσι κρατῆρες πλέωι;
Χο. ὥστ’ ἐκπιεῖν γέ ς’, ἢν θέλῃς, ὅλον πίθον.
Κυ. μήλειον ἢ βόειον ἢ μεμειγμένον;
Χο. ὃν ἂν θέλῃς σύ· μὴ ’μὲ καταπίῃς μόνον.
Κυ. ἥκιστ’· ἐπεί μ’ ἂν ἐν μέσηι τῆι γαστέρι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πηδῶντες ἀπολέσαιτ’ ἂν ὑπὸ τῶν σχημάτων.
ἔα· τίν’ ὄχλον τόνδ’ ὁρῶ πρὸς αὐλίοις;
λῃσταί τινες κατέσχον ἢ κλῶπες χθόνα;
ὁρῶ γέ τοι τούσδ’ ἄρνας ἐξ ἄντρων ἐμῶν
στρεπταῖς λύγοισι σῶμα συμπεπλεγμένους
τεύχη τε τυρῶν συμμιγῆ γέροντά τε
πληγαῖς μέτωπον φαλακρὸν ἐξῳδηκότα.
Σι. ὤμοι, πυρέσσω συγκεκομμένος τάλας.
Κυ. ὑπὸ τοῦ; τίς ἐς σὸν κρᾶτ’ ἐπύκτευσεν, γέρον;
Σι. ὑπὸ τῶνδε, Κύκλωψ, ὅτι τὰ σ’ οὐκ εἴων φέρειν.
Κυ. οὐκ ᾖσαν ὄντα θεόν με καὶ θεῶν ἄπο;
Σι. ἔλεγον ἐγὼ τάδ’· οἱ δ’ ἐφόρουν τὰ χρήματα,
καὶ τόν γε τυρὸν οὐκ ἐῶντος ἤσθιον
τούς τ’ ἄρνας ἐξεφοροῦντο· δήσαντες δὲ σὲ
κλῳῷ τριπήχει, κατὰ τὸν ὀφθαλμὸν μέσον
τὰ σπλάγχν’ ἔφασκον ἐξαμήσεσθαι βίαι,
μάστιγί τ’ εὖ τὸ νῶτον ἀπολέψειν σέθεν,
κἄπειτα συνδήσαντες ἐς θἀδώλια
τῆς ναὸς ἐμβαλόντες ἀποδώσειν τινὶ
πέτρους μοχλεύειν, ἢ ’ς μυλῶνα καταβαλεῖν.
Κυ. ἄληθες; οὔκουν κοπίδας ὡς τάχιστ’ ἰὼν
θήξεις μαχαίρας καὶ μέγαν φάκελον ξύλων
ἐπιθεὶς ἀνάψεις; ὡς σφαγέντες αὐτίκα πλήσουσι νηδὺν τὴν ἐμὴν ἀπ’ ἄνθρακος
θερμὴν διδόντες δαῖτα τῶι κρεανόμωι,
τὰ δ’ ἐκ λέβητος ἑφθὰ καὶ τετηκότα.
ὡς ἔκπλεώς γε δαιτός εἰμ’ ὀρεσκόου·
ἅλις λεόντων ἐστί μοι θοινωμένωι
ἐλάφων τε, χρόνιος δ’ εἴμ’ ἀπ’ ἀνθρώπων βορᾶς. Σι. τὰ καινά γ’ ἐκ τῶν ἠθάδων, ὦ δέσποτα,
ἡδίον’ ἐστίν. οὐ γὰρ οὖν νεωστί γε
ἄλλοι πρὸς ἄντρα σοὐσαφίκοντο ξένοι.
Οδ. Κύκλωψ, ἄκουσον ἐν μέρει καὶ τῶν ξένων.
ἡμεῖς βορᾶς χρῄζοντες ἐμπολὴν λαβεῖν
σῶν ἆσσον ἄντρων ἤλθομεν νεὼς ἄπο.
τοὺς δ’ ἄρνας ἡμῖν οὗτος ἀντ’ οἴνου σκύφου
ἀπημπόλα τε κἀδίδου πιεῖν λαβὼν
ἑκὼν ἑκοῦσι, κοὐδὲν ἦν τούτων βίαι.
ἀλλ’ οὗτος ὑγιὲς οὐδὲν ὧν φησιν λέγει,
ἐπεὶ κατελήφθη σοῦ λάθραι πωλῶν τὰ σά.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σι. ἐγώ; κακῶς γ’ ἄρ’ ἐξόλοι’. Οδ. εἰ ψεύδομαι.
Σι. μὰ τὸν Ποσειδῶ τὸν τεκόντα ς’, ὦ Κύκλωψ,
μὰ τὸν μέγαν Τρίτωνα καὶ τὸν Νηρέα,
μὰ τὴν Καλυψὼ τάς τε Νηρέως κόρας,
μὰ θαἰερὰ κύματ’ ἰχθύων τε πᾶν γένος,
ἀπώμος’, ὦ κάλλιστον ὦ Κυκλώπιον,
ὦ δεσποτίσκε, μὴ τὰ ς’ ἐξοδᾶν ἐγὼ
ξένοισι χρήματ’. ἢ κακῶς οὗτοι κακοὶ
οἱ παῖδες ἀπόλοινθ’, οὓς μάλιστ’ ἐγὼ φιλῶ.
Χο. αὐτὸς ἔχ’. ἔγωγε τοῖς ξένοις τὰ χρήματα
περνάντα ς’ εἶδον· εἰ δ’ ἐγὼ ψευδῆ λέγω, ἀπόλοιθ’ ὁ πατήρ μου· τοὺς ξένους δὲ μὴ ἀδίκει.
Κυ. ψεύδεσθ’· ἔγωγε τῶιδε τοῦ Ῥαδαμάνθυος
μᾶλλον πέποιθα καὶ δικαιότερον λέγω.
θέλω δ’ ἐρέσθαι· πόθεν ἐπλεύσατ’, ὦ ξένοι;
ποδαποί; τίς ὑμᾶς ἐξεπαίδευσεν πόλις;
Οδ. Ἰθακήσιοι μὲν τὸ γένος, Ἰλίου δ’ ἄπο,
πέρσαντες ἄστυ, πνεύμασιν θαλασσίοις
σὴν γαῖαν ἐξωσθέντες ἥκομεν, Κύκλωψ.
Κυ. ἦ τῆς κακίστης οἳ μετήλθεθ’ ἁρπαγὰς
Ἑλένης Σκαμάνδρου γείτον’ Ἰλίου πόλιν;
Οδ. οὗτοι, πόνον τὸν δεινὸν ἐξηντληκότες.
Κυ. αἰσχρὸν στράτευμά γ’, οἵτινες μιᾶς χάριν
γυναικὸς ἐξεπλεύσατ’ ἐς γαῖαν Φρυγῶν.
Οδ. θεοῦ τὸ πρᾶγμα· μηδέν’ αἰτιῶ βροτῶν.
ἡμεῖς δέ ς’, ὦ θεοῦ ποντίου γενναῖε παῖ,
ἱκετεύομέν τε καὶ λέγομεν ἐλευθέρως·
μὴ τλῇις πρὸς ἄντρα σοὐσαφιγμένους φίλους
κτανεῖν βοράν τε δυσσεβῆ θέσθαι γνάθοις·
οἳ τὸν σόν, ὦναξ, πατέρ’ ἔχειν ναῶν ἕδρας
ἐρρυσάμεσθα γῆς ἐν Ἑλλάδος μυχοῖς·
ἱερᾶς τ’ ἄθραυστος Ταινάρου μένει λιμὴν
Μαλέας τ’ ἄκρας κευθμῶνες ἥ τε Σουνίου
δίας Ἀθάνας σῶς ὑπάργυρος πέτρα
Γεραίστιοί τε καταφυγαί· τά θ’ Ἑλλάδος
δύσφρον’ ὀνείδη Φρυξὶν οὐκ ἐδώκαμεν.
ὧν καὶ σὺ κοινοῖ· γῆς γὰρ Ἑλλάδος μυχοὺς
οἰκεῖς ὑπ’ Αἴτνηι, τῆι πυριστάκτωι πέτραι.
νόμος δὲ θνητοῖς, εἰ λόγους ἀποστρέφηι, ἱκέτας δέχεσθαι ποντίους ἐφθαρμένους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ξένιά τε δοῦναι καὶ πέπλους ἐπαρκέσαι,
οὐκ ἀμφὶ βουπόροισι πηχθέντας μέλη
ὀβελοῖσι νηδὺν καὶ γνάθον πλῆσαι σέθεν.
ἅλις δὲ Πριάμου γαῖ’ ἐχήρωσ’ Ἑλλάδα
πολλῶν νεκρῶν πιοῦσα δοριπετῆ φόνον
ἀλόχους τ’ ἀνάνδρους γραῦς τ’ ἄπαιδας ὤλεσεν
πολιούς τε πατέρας. εἰ δὲ τοὺς λελειμμένους
σὺ συμπυρώσας δαῖτ’ ἀναλώσεις πικράν,
ποῖ τρέψεταί τις; ἀλλ’ ἐμοὶ πιθοῦ, Κύκλωψ·
πάρες τὸ μάργον σῆς γνάθου, τὸ δ’ εὐσεβὲς
τῆς δυσσεβείας ἀνθελοῦ· πολλοῖσι γὰρ
κέρδη πονηρὰ ζημίαν ἠμείψατο.
Σι. παραινέσαι σοι βούλομαι· τῶν γὰρ κρεῶν
μηδὲν λίπηις τοῦδ’· ἢν δὲ τὴν γλῶσσαν δάκηις,
κομψὸς γενήσηι καὶ λαλίστατος, Κύκλωψ.
Κυ. ὁ πλοῦτος, ἀνθρωπίσκε, τοῖς σοφοῖς θεός,
τὰ δ’ ἄλλα κόμποι καὶ λόγων εὐμορφία.
ἄκρας δ’ ἐναλίας αἷς καθίδρυται πατὴρ
χαίρειν κελεύω· τί τάδε προυστήσω λόγωι;
Ζηνὸς δ’ ἐγὼ κεραυνὸν οὐ φρίσσω, ξένε,
οὐδ’ οἶδ’ ὅτι Ζεύς ἐστ’ ἐμοῦ κρείσσων θεός.
οὔ μοι μέλει τὸ λοιπόν· ὡς δ’ οὔ μοι μέλει
ἄκουσον· ὅταν ἄνωθεν ὄμβρον ἐκχέηι,
ἐν τῆιδε πέτραι στέγν’ ἔχων σκηνώματα,
ἢ μόσχον ὀπτὸν ἤ τι θήρειον δάκος
δαινύμενος, εὖ τέγγων τε γαστέρ’ ὑπτίαν,
ἐπεκπιὼν γάλακτος ἀμφορέα, πέπλον
κρούω, Διὸς βρονταῖσιν εἰς ἔριν κτυπῶν.
ὅταν δὲ βορέας χιόνα Θρήικιος χέηι,
δοραῖσι θηρῶν σῶμα περιβαλὼν ἐμὸν
καὶ πῦρ ἀναίθων, χιόνος οὐδέν μοι μέλει.
ἡ γῆ δ’ ἀνάγκηι, κἂν θέληι κἂν μὴ θέληι,
τίκτουσα ποίαν τἀμὰ πιαίνει βοτά.
ἁγὼ οὔτινι θύω πλὴν ἐμοί, θεοῖσι δ’ οὔ,
καὶ τῆι μεγίστηι, γαστρὶ τῆιδε, δαιμόνων.
ὡς τοὐμπιεῖν γε καὶ φαγεῖν τοὐφ’ ἡμέραν,
Ζεὺς οὗτος ἀνθρώποισι τοῖσι σώφροσιν,
λυπεῖν δὲ μηδὲν αὑτόν. οἳ δὲ τοὺς νόμους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔθεντο ποικίλλοντες ἀνθρώπων βίον,
340.1 κλαίειν ἄνωγα· τὴν 〈δ’〉 ἐμὴν ψυχὴν ἐγὼ
340.2 οὐ παύσομαι δρῶν εὖ, κατεσθίων γε σέ.
340.3 ξένια δὲ λήψηι τοιάδ’, ὡς ἄμεμπτος ὦ,
340.4 πῦρ καὶ πατρῷιον τόνδε χαλκόν, ὃς ζέσας
340.5 σὴν σάρκα διαφόρητον ἀμφέξει καλῶς.
345.1 ἀλλ’ ἕρπετ’ εἴσω, τοῦ κατ’ αὔλιον θεοῦ
345.2 ἵν’ ἀμφὶ βωμὸν στάντες εὐωχῆτέ με.
345.3 Οδ. αἰαῖ, πόνους μὲν Τρωϊκοὺς ὑπεξέδυν
345.4 θαλασσίους τε, νῦν δ’ ἐς ἀνδρὸς ἀνοσίου
345.5 ὠμὴν κατέσχον ἀλίμενόν τε καρδίαν. ὦ Παλλάς, ὦ δέσποινα Διογενὲς θεά,
345.6 νῦν νῦν ἄρηξον· κρείσσονας γὰρ Ἰλίου
345.7 πόνους ἀφῖγμαι κἀπὶ κινδύνου βάθρα.
345.8 σύ τ’, ὦ φαεννὰς ἀστέρων οἰκῶν ἕδρας
345.9 Ζεῦ ξένι’, ὅρα τάδ’· εἰ γὰρ αὐτὰ μὴ βλέπεις,
355.1 ἄλλως νομίζηι Ζεὺς τὸ μηδὲν ὢν θεός.
355.2 Χο. Εὐρείας φάρυγος, ὦ Κύκλωψ,
355.3 ἀναστόμου τὸ χεῖλος· ὡς ἕτοιμά σοι
355.4 ἑφθὰ καὶ ὀπτὰ καὶ ἀνθρακιᾶς ἄπο 〈θερμὰ〉
358.1 χναύειν βρύκειν
358.2 κρεοκοπεῖν μέλη ξένων
360.1 δασυμάλλωι ἐν αἰγίδι κλινομένωι.
360.2 μὴ ’μοὶ μὴ προσδίδου·
360.3 μόνος μόνωι γέμιζε πορθμίδος σκάφος.
360.4 χαιρέτω μὲν αὖλις ἅδε,
360.5 χαιρέτω δὲ θυμάτων
365.1 ἀποβώμιος ἃν ἔχει θυσίαν
365.2 Κύκλωψ Αἰτναῖος ξενικῶν
365.3 κρεῶν κεχαρμένος βορᾶι.
365.4 νηλὴς ὦ τλᾶμον ὅστις δωμάτων
371 ἐφεστίους ἱκτῆρας ἐκθύει δόμων,
373 ἑφθά τε δαινύμενος μυσαροῖσί τ’ ὀδοῦσιν
372 κόπτων βρύκων
374 θέρμ’ ἀπ’ ἀνθράκων κρέα
post 374 〈〉
375.1 Οδ. ὦ Ζεῦ, τί λέξω, δείν’ ἰδὼν ἄντρων ἔσω κοὐ πιστά, μύθοις εἰκότ’ οὐδ’ ἔργοις βροτῶν;
375.2 Χο. τί δ’ ἔστ’, Ὀδυσσεῦ; μῶν τεθοίναται σέθεν
375.3 φίλους ἑταίρους ἀνοσιώτατος Κύκλωψ;
375.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Οδ. δισσούς γ’ ἀθρήσας κἀπιβαστάσας χεροῖν,
380.1 οἳ σαρκὸς εἶχον εὐτραφέστατον πάχος.
380.2 Χο. πῶς, ὦ ταλαίπωρ’, ἦτε πάσχοντες τάδε;
380.3 Οδ. ἐπεὶ πετραίαν τήνδ’ ἐσήλθομεν χθόνα,
380.4 ἀνέκαυσε μὲν πῦρ πρῶτον, ὑψηλῆς δρυὸς
380.5 κορμοὺς πλατείας ἐσχάρας βαλὼν ἔπι,
385 τρισσῶν ἁμαξῶν ὡς ἀγώγιμον βάρος,
392 καὶ χάλκεον λέβητ’ ἐπέζεσεν πυρί.
386.1 ἔπειτα φύλλων ἐλατίνων χαμαιπετῆ
386.2 ἔστρωσεν εὐνὴν πλησίον πυρὸς φλογί.
386.3 κρατῆρα δ’ ἐξέπλησεν ὡς δεκάμφορον,
386.4 μόσχους ἀμέλξας, λευκὸν ἐσχέας γάλα,
390.1 σκύφος τε κισσοῦ παρέθετ’ εἰς εὖρος τριῶν
390.2 πήχεων, βάθος δὲ τεσσάρων ἐφαίνετο,
393.1 ὀβελούς τ’, ἄκρους μὲν ἐγκεκαυμένους πυρί,
393.2 ξεστοὺς δὲ δρεπάνωι τἄλλα, παλιούρου κλάδων,
395.1 Αἰτναῖά τε σφαγεῖα πελέκεων γνάθοις.
395.2 ὡς δ’ ἦν ἕτοιμα πάντα τῶι θεοστυγεῖ
395.3 Ἅιδου μαγείρωι, φῶτε συμμάρψας δύο
395.4 ἔσφαζ’ ἑταίρων τῶν ἐμῶν, ῥυθμῶι θ’ ἑνὶ
395.5 τὸν μὲν λέβητος ἐς κύτος χαλκήλατον
post 399.1 ⟨⟩ τὸν δ’ αὖ, τένοντος ἁρπάσας ἄκρου ποδός, παίων πρὸς ὀξὺν στόνυχα πετραίου λίθου
post 399.2 ἐγκέφαλον ἐξέρρανε· καὶ καθαρπάσας
post 399.3 λάβρωι μαχαίραι σάρκας ἐξώπτα πυρί,
post 399.4 τὰ δ’ ἐς λέβητ’ ἐφῆκεν ἕψεσθαι μέλη.
405.1 ἐγὼ δ’ ὁ τλήμων δάκρυ’ ἀπ’ ὀφθαλμῶν χέων
405.2 ἐχριμπτόμην Κύκλωπι κἀδιακόνουν·
405.3 ἄλλοι δ’ ὅπως ὄρνιθες ἐν μυχοῖς πέτρας
405.4 πτήξαντες εἶχον, αἷμα δ’ οὐκ ἐνῆν χροΐ.
405.5 ἐπεὶ δ’ ἑταίρων τῶν ἐμῶν πλησθεὶς βορᾶς
410.1 ἀνέπεσε, φάρυγος αἰθέρ’ ἐξανεὶς βαρύν,
410.2 ἐσῆλθέ μοί τι θεῖον· ἐμπλήσας σκύφος
410.3 Μάρωνος αὐτῶι τοῦδε προσφέρω πιεῖν,
410.4 λέγων τάδ’· Ὦ τοῦ ποντίου θεοῦ Κύκλωψ,
410.5 σκέψαι τόδ’ οἷον Ἑλλὰς ἀμπέλων ἄπο
415.1 θεῖον κομίζει πῶμα, Διονύσου γάνος.
415.2 ὁ δ’ ἔκπλεως ὢν τῆς ἀναισχύντου βορᾶς
415.3 ἐδέξατ’ ἔσπασέν ⟨τ’⟩ ἄμυστιν ἑλκύσας
415.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κἀπήινεσ’ ἄρας χεῖρα· Φίλτατε ξένων,
καλὸν τὸ πῶμα δαιτὶ πρὸς καλῆι δίδως.
ἡσθέντα δ’ αὐτὸν ὡς ἐπῃσθόμην ἐγώ,
ἄλλην ἔδωκα κύλικα, γιγνώσκων ὅτι
τρώσει νιν οἶνος καὶ δίκην δώσει τάχα.
καὶ δὴ πρὸς ὠιδὰς εἷρπ’· ἐγὼ δ’ ἐπεγχέων
ἄλλην ἐπ’ ἄλληι σπλάγχν’ ἐθέρμαινον ποτῶι.
ἄιδει δὲ παρὰ κλαίουσι συνναύταις ἐμοῖς
ἄμους’, ἐπηχεῖ δ’ ἄντρον. ἐξελθὼν δ’ ἐγὼ
σιγῆι σὲ σῶσαι κἄμ’, ἐὰν βούληι, θέλω. ἀλλ’ εἴπατ’ εἴτε χρήιζετ’ εἴτ’ οὐ χρήιζετε
φεύγειν ἄμεικτον ἄνδρα καὶ τὰ Βακχίου
ναίειν μέλαθρα Ναΐδων νυμφῶν μέτα.
ὁ μὲν γὰρ ἔνδον σὸς πατὴρ τάδ’ ἤινεσεν·
ἀλλ’ ἀσθενὴς γὰρ κἀποκερδαίνων ποτοῦ
ὥσπερ πρὸς ἰξῶι τῆι κύλικι λελημμένος
πτέρυγας ἀλύει· σὺ δέ (νεανίας γὰρ εἶ)
σώθητι μετ’ ἐμοῦ καὶ τὸν ἀρχαῖον φίλον
Διόνυσον ἀνάλαβ’, οὐ Κύκλωπι προσφερῆ.
Χο. ὦ φίλτατ’, εἰ γὰρ τήνδ’ ἴδοιμεν ἡμέραν
Κύκλωπος ἐκφυγόντες ἀνόσιον κάρα.
ὡς διὰ μακροῦ γε τὸν σίφωνα τὸν φίλον
χηρεύομεν τόνδ’ οὐκ ἔχομεν καταφαγεῖν.
Οδ. ἄκουε δή νυν ἣν ἔχω τιμωρίαν
θηρὸς πανούργου σῆς τε δουλείας φυγήν.
Χο. λέγ’, ὡς Ἀσιάδος οὐκ ἂν ἥδιον ψόφον
κιθάρας κλύοιμεν ἢ Κύκλωπ’ ὀλωλότα.
Οδ. ἐπὶ κῶμον ἕρπειν πρὸς κασιγνήτους θέλει
Κύκλωπας ἡσθεὶς τῶιδε Βακχίου ποτῶι.
Χο. ξυνῆκ’· ἔρημον ξυλλαβὼν δρυμοῖσί νιν
σφάξαι μενοινᾶις ἢ πετρῶν ὦσαι κάτα.
Οδ. οὐδὲν τοιοῦτον· δόλιος ἡ προθυμία. Χο. πῶς δαί; σοφόν τοί ς’ ὄντ’ ἀκούομεν πάλαι.
Οδ. κώμου μὲν αὐτὸν τοῦδ’ ἀπαλλάξαι, λέγων
ὡς οὐ Κύκλωψι πῶμα χρὴ δοῦναι τόδε,
μόνον δ’ ἔχοντα βίοτον ἡδέως ἄγειν.
ὅταν δ’ ὑπνώσσηι Βακχίου νικώμενος,
ἀκρεμὼν ἐλαίας ἔστιν ἐν δόμοισί τις, ὃν φασγάνωι τῶιδ’ ἐξαποξύνας ἄκρον
ἐς πῦρ καθήσω· κᾆιθ’ ὅταν κεκαυμένον
ἴδω νιν, ἄρας θερμὸν ἐς μέσην βαλῶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κύκλωπος ὄψιν ὄμμα τ’ ἐκτήξω πυρί.
ναυπηγίαν δ’ ὡσεί τις ἁρμόζων ἀνὴρ
διπλοῖν χαλινοῖν τρύπανον κωπηλατεῖ,
οὕτω κυκλώσω δαλὸν ἐν φαεσφόρωι
Κύκλωπος ὄψει καὶ συναυανῶ κόρας.
Χο. ἰοὺ ἰού·
γέγηθα μαινόμεσθα τοῖς εὑρήμασιν.
Οδ. κἄπειτα καὶ σὲ καὶ φίλους γέροντά τε
νεὼς μελαίνης κοῖλον ἐμβήσας σκάφος
διπλαῖσι κώπαις τῆσδ’ ἀποστελῶ χθονός.
Χο. ἔστ’ οὖν ὅπως ἂν ὡσπερεὶ σπονδῆς θεοῦ
κἀγὼ λαβοίμην τοῦ τυφλοῦντος ὄμματα
δαλοῦ; πόνου γὰρ τοῦδε κοινωνεῖν θέλω.
Οδ. δεῖ γοῦν· μέγας γὰρ δαλός, οὗ ξυλληπτέον.
Χο. ὡς κἂν ἁμαξῶν ἑκατὸν ἀραίμην βάρος,
εἰ τοῦ Κύκλωπος τοῦ κακῶς ὀλουμένου
ὀφθαλμὸν ὥσπερ σφηκιὰν ἐκθύψομεν.
Οδ. σιγᾶτέ νυν· δόλον γὰρ ἐξεπίστασαι·
χὤταν κελεύω, τοῖσιν ἀρχιτέκτοσιν
πείθεσθ’. ἐγὼ γὰρ ἄνδρας ἀπολιπὼν φίλους
τοὺς ἔνδον ὄντας οὐ μόνος σωθήσομαι.
[καίτοι φύγοιμ’ ἂν κἀκβέβηκ’ ἄντρου μυχῶν·
ἀλλ’ οὐ δίκαιον ἀπολιπόντ’ ἐμοὺς φίλους
ξὺν οἷσπερ ἦλθον δεῦρο σωθῆναι μόνον.]
Χο. ἄγε, τίς πρῶτος, τίς δ’ ἐπὶ πρώτωι ταχθεὶς δαλοῦ κώπην ὀχμάσαι.
Κύκλωπος ἔσω βλεφάρων ὤσας
λαμπρὰν ὄψιν διακναίσει;
[ὠιδὴ ἔνδοθεν.]
σίγα σίγα. καὶ δὴ μεθύων
ἄχαριν κέλαδον μουσιζόμενος
σκαιὸς ἀπωιδὸς καὶ κλαυσόμενος
χωρεῖ πετρίνων ἔξω μελάθρων.
φέρε νιν κώμοις παιδεύσωμεν
τὸν ἀπαίδευτον·
πάντως μέλλει τυφλὸς εἶναι.
μάκαρ ὅστις εὐιάζει
βοτρύων φίλαισι πηγαῖς
ἐπὶ κῶμον ἐκπετασθεὶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φίλον ἄνδρ’ ὑπαγκαλίζων,
ἐπὶ δεμνίοις τε ξανθὸν χλιδανᾶς ἔχων ἑταίρας
μυρόχριστος λιπαρὸν βό-
στρυχον, αὐδᾶι δέ· Θύραν τίς οἴξει μοι;
Κυ. παπαπαῖ· πλέως μὲν οἴνου,
γάνυμαι 〈δὲ〉 δαιτὸς ἥβαι,
σκάφος ὁλκὰς ὣς γεμισθεὶς
ποτὶ σέλμα γαστρὸς ἄκρας.
ὑπάγει μ’ ὁ φόρτος εὔφρων
ἐπὶ κῶμον ἦρος ὥραις
ἐπὶ Κύκλωπας ἀδελφούς.
φέρε μοι, ξεῖνε, φέρ’, ἀσκὸν ἔνδος μοι.
Χο. καλὸν ὄμμασιν δεδορκὼς
καλὸς ἐκπερᾶι μελάθρων.
〈 〉 φιλεῖ τίς ἡμᾶς;
λύχνα δ’ ἀμμένει δαΐα σὸν
χρόα χὠς τέρεινα νύμφα
δροσερῶν ἔσωθεν ἄντρων.
στεφάνων δ’ οὐ μία χροιὰ
περὶ σὸν κρᾶτα τάχ’ ἐξομιλήσει.
Οδ. Κύκλωψ, ἄκουσον· ὡς ἐγὼ τοῦ Βακχίου
τούτου τρίβων εἴμ’, ὃν πιεῖν ἔδωκά σοι.
Κυ. ὁ Βάκχιος δὲ τίς; θεὸς νομίζεται;
Οδ. μέγιστος ἀνθρώποισιν ἐς τέρψιν βίου.
Κυ. ἐρυγγάνω γοῦν αὐτὸν ἡδέως ἐγώ.
Οδ. τοιόσδ’ ὁ δαίμων· οὐδένα βλάπτει βροτῶν.
Κυ. θεὸς δ’ ἐν ἀσκῶι πῶς γέγηθ’ οἴκους ἔχων;
Οδ. ὅπου τιθῆι τις, ἐνθάδ’ ἐστὶν εὐπετής.
Κυ. οὐ τοὺς θεοὺς χρὴ σῶμ’ ἔχειν ἐν δέρμασιν.
Οδ. τί δ’, εἴ σε τέρπει γ’; ἢ τὸ δέρμα σοι πικρόν;
Κυ. μισῶ τὸν ἀσκόν· τὸ δὲ ποτὸν φιλῶ τόδε.
Οδ. μένων νυν αὐτοῦ πῖνε κεὐθύμει, Κύκλωψ.
Κυ. οὐ χρή μ’ ἀδελφοῖς τοῦδε προσδοῦναι ποτοῦ;
Οδ. ἔχων γὰρ αὐτὸς τιμιώτερος φανῆι.
Κυ. διδοὺς δὲ τοῖς φίλοισι χρησιμώτερος.
Οδ. πυγμὰς ὁ κῶμος λοίδορόν τ’ ἔριν φιλεῖ.
Κυ. μεθύω μέν, ἔμπας δ’ οὔτις ἂν ψαύσειέ μου.
Οδ. ὦ τᾶν, πεπωκότ’ ἐν δόμοισι χρὴ μένειν. Κυ. ἠλίθιος ὅστις μὴ πιὼν κῶμον φιλεῖ.

Οδ. ὃς δ’ ἂν μεθυσθείς γ’ ἐν δόμοις μείνηι σοφός.
Κυ. τί δρῶμεν, ὦ Σιληνέ; σοὶ μένειν δοκεῖ;
Σι. δοκεῖ· τί γὰρ δεῖ συμποτῶν ἄλλων, Κύκλωψ;
Οδ. καὶ μὴν λαχνῶδές γ’ οὖδας ἀνθηρᾶς χλόης.
Σι. καὶ πρός γε θάλπος ἡλίου πίνειν καλόν.
κλίθητί νύν μοι πλευρὰ θεὶς ἐπὶ χθονός.
Κυ. ἰδού.
τί δῆτα τὸν κρατῆρ’ ὄπισθ’ ἐμοῦ τίθης;
Σι. ὡς μὴ παριών τις καταβάληι. Κυ. πίνειν μὲν οὖν
κλέπτων σὺ βούληι· κάτθες αὐτὸν ἐς μέσον.
σὺ δ’, ὦ ξέν’, εἰπὲ τοὔνομ’ ὅτι σε χρὴ καλεῖν.
Οδ. Οὖτιν· χάριν δὲ τίνα λαβών ς’ ἐπαινέσω; Κυ. πάντων ς’ ἑταίρων ὕστερον θοινάσομαι.
Σι. καλόν γε τὸ γέρας τῶι ξένωι δίδως, Κύκλωψ.
Κυ. οὗτος, τί δρᾶις; τὸν οἶνον ἐκπίνεις λάθραι;
Σι. οὔκ, ἀλλ’ ἔμ’ οὗτος ἔκυσεν ὅτι καλὸν βλέπω.
Κυ. κλαύσηι, φιλῶν τὸν οἶνον οὐ φιλοῦντα σέ.
Σι. οὐ μὰ Δί’, ἐπεί μού φης’ ἐρᾶν ὄντος καλοῦ.
Κυ. ἔγχει, πλέων δὲ τὸν σκύφον δίδου μόνον.
Σι. πῶς οὖν κέκραται; φέρε διασκεψώμεθα.
Κυ. ἀπολεῖς· δὸς οὕτως. Σι. οὐ μὰ δί’, οὐ πρὶν ἄν γέ σε
στέφανον ἴδω λαβόντα γεύσωμαί τ’ ἔτι.
Κυ. οίνοχόος ἄδικος. Σι. 〈οὐ〉 μὰ δί’, ἀλλ’ οἶνος
γλυκύς. ἀπομακτέον δέ σοὐστὶν ὡς λήψηι πιεῖν.
Κυ. ἰδού, καθαρὸν τὸ χεῖλος αἱ τρίχες τέ μου.
Σι. θές νυν τὸν ἀγκῶν’ εὐρύθμως κᾆιτ’ ἔκπιε,
ὥσπερ μ’ ὁρᾶις πίνοντα χὤσπερ οὐκ ἐμέ.
Κυ. ἆ ἆ, τί δράσεις; Σι. ἡδέως ἠμύστισα.
Κυ. λάβ’, ὦ ξέν’, αὐτὸς οἰνοχόος τέ μοι γενοῦ.
Οδ. γιγνώσκεται γοῦν ἄμπελος τὴμῆι χερί.
Κυ. φέρ’ ἔγχεόν νυν. Οδ. ἐγχέω, σίγα μόνον.
Κυ. χαλεπὸν τόδ’ εἶπας, ὅστις ἂν πίνηι πολύν.
Οδ. ἰδού, λαβὼν ἔκπιθι καὶ μηδὲν λίπηις·
συνεκθανεῖν δὲ σπῶντα χρὴ τῶι πώματι.
Κυ. παπαῖ, σοφόν γε τὸ ξύλον τῆς ἀμπέλου.
Οδ. κἂν μὲν σπάσηις γε δαιτὶ πρὸς πολλῆι πολύν,
τέγξας ἄδιψον νηδύν, εἰς ὕπνον βαλεῖ,
ἢν δ’ ἐλλίπηις τι, ξηρανεῖ ς’ ὁ Βάκχιος.
Κυ. ἰοὺ ἰού·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς ἐξένευσα μόγις· ἄκρατος ἡ χάρις.
ὁ δ’ οὐρανός μοι συμμεμειγμένος δοκεῖ
τῆι γῆι φέρεσθαι, τοῦ Διός τε τὸν θρόνον
λεύσσω τὸ πᾶν τε δαιμόνων ἁγνὸν σέβας.
οὐκ ἂν φιλήσαιμ’; αἱ Χάριτες πειρῶσί με.
ἅλις· Γανυμήδη τόνδ’ ἔχων ἀναπαύσομαι
κάλλιον ἢ τὰς Χάριτας. ἥδομαι δέ πως
τοῖς παιδικοῖσι μᾶλλον ἢ τοῖς θήλεσιν.
Σι. ἐγὼ γὰρ ὁ Διός εἰμι Γανυμήδης, Κύκλωψ;
Κυ. ναὶ μὰ Δί’, ὃν ἁρπάζω γ’ ἐγὼ ’κ τῆς Δαρδάνου.
Σι. ἀπόλωλα, παῖδες· σχέτλια πείσομαι κακά. Κυ. μέμφηι τὸν ἐραστὴν κἀντρυφᾶις πεπωκότι;
Σι. οἴμοι· πικρότατον οἶνον ὄψομαι τάχα.
Οδ. ἄγε δή, Διονύσου παῖδες, εὐγενῆ τέκνα,
ἔνδον μὲν ἀνήρ· τῶι δ’ ὕπνωι παρειμένος
τάχ’ ἐξ ἀναιδοῦς φάρυγος ὠθήσει κρέα.
δαλὸς δ’ ἔσωθεν αὐλίων ὠθεῖ καπνὸν
παρευτρέπισται, κοὐδὲν ἄλλο πλὴν πυροῦν
Κύκλωπος ὄψιν· ἀλλ’ ὅπως ἀνὴρ ἔσηι.
Χο. πέτρας τὸ λῆμα κἀδάμαντος ἕξομεν.
χώρει δ’ ἐς οἴκους πρίν τι τὸν πατέρα παθεῖν
ἀπάλαμνον· ὥς σοι τἀνθάδ’ ἐστὶν εὐτρεπῆ.
Οδ. Ἥφαιστ’, ἄναξ Αἰτναῖε, γείτονος κακοῦ λαμπρὸν πυρώσας ὄμμ’ ἀπαλλάχθηθ’ ἅπαξ,
σύ τ’, ὦ μελαίνης Νυκτὸς ἐκπαίδευμ’, Ὕπνε,
ἄκρατος ἐλθὲ θηρὶ τῶι θεοστυγεῖ,
καὶ μὴ ’πὶ καλλίστοισι Τρωϊκοῖς πόνοις
αὐτόν τε ναύτας τ’ ἀπολέσητ’ Ὀδυσσέα
ὑπ’ ἀνδρὸς ὧι θεῶν οὐδὲν ἢ βροτῶν μέλει.
ἢ τὴν τύχην μὲν δαίμον’ ἡγεῖσθαι χρεών,
τὰ δαιμόνων δὲ τῆς τύχης ἐλάσσονα.
Χο. λήψεται τὸν τράχηλον
ἐντόνως ὁ καρκίνος
τοῦ ξενοδαιτυμόνος· πυρὶ γὰρ τάχα
φωσφόρους ὀλεῖ κόρας.
ἤδη δαλὸς ἠνθρακωμένος
κρύπτεται ἐς σποδιάν, δρυὸς ἄσπετον
ἔρνος. ἀλλ’ ἴτω Μάρων, πρασσέτω, μαινομένου ’ξελέτω βλέφαρον
Κύκλωπος, ὡς πίηι κακῶς.
κἀγὼ τὸν φιλοκισσοφόρον Βρόμιον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποθεινὸν εἰσιδεῖν θέλω,
Κύκλωπος λιπὼν ἐρημίαν·
ἆρ’ ἐς τοσόνδ’ ἀφίξομαι;
Οδ. σιγᾶτε πρὸς θεῶν, θῆρες, ἡσυχάζετε,
συνθέντες ἄρθρα στόματος· οὐδὲ πνεῖν ἐῶ,
οὐ σκαρδαμύσσειν οὐδὲ χρέμπτεσθαί τινα,
ὡς μὴ ’ξεγερθῆι τὸ κακόν, ἔστ’ ἂν ὄμματος
ὄψις Κύκλωπος ἐξαμιλληθῆι πυρί.
Χο. σιγῶμεν ἐγκάψαντες αἰθέρα γνάθοις.
Οδ. ἄγε νυν ὅπως ἅψεσθε τοῦ δαλοῦ χεροῖν
ἔσω μολόντες· διάπυρος δ’ ἐστὶν καλῶς.
Χο. οὔκουν σὺ τάξεις οὕστινας πρώτους χρεὼν
καυτὸν μοχλὸν λαβόντας ἐκκαίειν τὸ φῶς
Κύκλωπος, ὡς ἂν τῆς τύχης κοινώμεθα;
Χο.α ἡμεῖς μέν ἐσμεν μακροτέρω πρὸ τῶν θυρῶν
ἑστῶτες ὠθεῖν ἐς τὸν ὀφθαλμὸν τὸ πῦρ.
Χο.β ἡμεῖς δὲ χωλοί γ’ ἀρτίως γεγενήμεθα.
Χο.α ταὐτὸν πεπόνθατ’ ἆρ’ ἐμοί· τοὺς γὰρ πόδας
ἑστῶτες ἐσπάσθημεν οὐκ οἶδ’ ἐξ ὅτου.
Οδ. ἑστῶτες ἐσπάσθητε; Χο.α καὶ τά γ’ ὄμματα μέστ’ ἐστὶν ἡμῖν κόνεος ἢ τέφρας ποθέν.
Οδ. ἄνδρες πονηροὶ κοὐδὲν οἵδε σύμμαχοι.
Χο. ὁτιὴ τὸ νῶτον τὴν ῥάχιν τ’ οἰκτίρομεν
καὶ τοὺς ὀδόντας ἐκβαλεῖν οὐ βούλομαι
τυπτόμενος, αὕτη γίγνεται πονηρία;
ἀλλ’ οἶδ’ ἐπωιδὴν Ὀρφέως ἀγαθὴν πάνυ,
ὥστ’ αὐτόματον τὸν δαλὸν ἐς τὸ κρανίον
στείχονθ’ ὑφάπτειν τὸν μονῶπα παῖδα γῆς.
Οδ. πάλαι μὲν ᾔδη σ’ ὄντα τοιοῦτον φύσει, νῦν δ’ οἶδ’ ἄμεινον. τοῖσι δ’ οἰκείοις φίλοις
χρῆσθαί μ’ ἀνάγκη. χειρὶ δ’ εἰ μηδὲν σθένεις,
ἀλλ’ οὖν ἐπεγκέλευέ γ’, ὡς εὐψυχίαν
φίλων κελευσμοῖς τοῖσι σοῖς κτησώμεθα.
Χο. δράσω τάδ’· ἐν τῶι Καρὶ κινδυνεύσομεν.
κελευσμάτων δ’ ἕκατι τυφέσθω Κύκλωψ.
ἰὼ ἰώ· γενναιότατ’ ὠ-
θεῖτε σπεύδετ’, ἐκκαίετε τὰν ὀφρὺν
θηρὸς τοῦ ξενοδαίτα.
τύφετ’ ὦ, καίετ’ ὦ
τὸν Αἴτνας μηλονόμον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τόρνευ’ ἕλκε, μή σ’ ἐξοδυνηθεὶς
δράσηι τι μάταιον.
Κυ. ὤμοι, κατηνθρακώμεθ’ ὀφθαλμοῦ σέλας.
Χο. καλός γ’ ὁ παιάν· μέλπε μοι τόνδ’ αὖ, Κύκλωψ.
Κυ. ὤμοι μάλ’, ὡς ὑβρίσμεθ’, ὡς ὀλώλαμεν.
ἀλλ’ οὔτι μὴ φύγητε τῆσδ’ ἔξω πέτρας
χαίροντες, οὐδὲν ὄντες· ἐν πύλαισι γὰρ σταθεὶς φάραγγος τῆσδ’ ἐναρμόσω χέρας.
Χο. τί χρῆμ’ ἀυτεῖς, ὦ Κύκλωψ; Κυ. ἀπωλόμην.
Χο. αἰσχρός γε φαίνηι. Κυ. κἀπὶ τοῖσδέ γ’ ἄθλιος.
Χο. μεθύων κατέπεσες ἐς μέσους τοὺς ἄνθρακας;
Κυ. Οὖτίς μ’ ἀπώλεσ’. Χο. οὐκ ἄρ’ οὐδείς 〈σ’〉 ἠδίκει.
Κυ. Οὖτίς με τυφλοῖ βλέφαρον. Χο. οὐκ ἄρ’ εἶ τυφλός.
Κυ. ὣς δὴ σύ. Χο. καὶ πῶς σ’ οὔτις ἂν θείη τυφλόν;
Κυ. σκώπτεις. ὁ δ’ Οὖτις ποῦ ’στιν; Χο. οὐδαμοῦ,
Κύκλωψ.
Κυ. ὁ ξένος ἵν’ ὀρθῶς ἐκμάθηις μ’ ἀπώλεσεν,
ὁ μιαρός, ὅς μοι δοὺς τὸ πῶμα κατέκλυσεν.
Χο. δεινὸς γὰρ οἶνος καὶ παλαίεσθαι βαρύς.
Κυ. πρὸς θεῶν, πεφεύγασ’ ἢ μένουσ’ ἔσω δόμων;
Χο. οὗτοι σιωπῆι τὴν πέτραν ἐπήλυγα
λαβόντες ἑστήκασι. Κυ. ποτέρας τῆς χερός;
Χο. ἐν δεξιᾶι σου. Κυ. ποῦ; Χο. πρὸς αὐτῆι τῆι
πέτραι.
ἔχεις; Κυ. κακόν γε πρὸς κακῶι· τὸ κρανίον
παίσας κατέαγα. Χο. καί σε διαφεύγουσί γε.
Κυ. οὐ τῆιδέ πηι, τῆιδ’ εἶπας; Χο. οὔ· ταύτηι λέγω.
Κυ. πῆι γάρ; Χο. περιάγου κεῖσε, πρὸς τἀριστερά.
Κυ. οἴμοι γελῶμαι· κερτομεῖτέ μ’ ἐν κακοῖς.
Χο. ἀλλ’ οὐκέτ’, ἀλλὰ πρόσθεν οὗτός ἐστι σοῦ.
Κυ. ὦ παγκάκιστε, ποῦ ποτ’ εἶ; Οδ. τηλοῦ σέθεν
φυλακαῖσι φρουρῶ σῶμ’ Ὀδυσσέως τόδε.
Κυ. πῶς εἶπας; ὄνομα μεταβαλὼν καινὸν λέγεις.
Οδ. ὅπερ μ’ ὁ φύσας ὠνόμαζ’ Ὀδυσσέα.
δώσειν δ’ ἔμελλες ἀνοσίου δαιτὸς δίκας·
καλῶς γὰρ ἂν Τροίαν γε διεπυρώσαμεν
εἰ μή σ’ ἑταίρων φόνον ἐτιμωρησάμην.
Κυ. αἰαῖ· παλαιὸς χρησμὸς ἐκπεραίνεται·
τυφλὴν γὰρ ὄψιν ἐκ σέθεν σχήσειν μ’ ἔφη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τροίας ἀφορμηθέντος. ἀλλὰ καὶ σέ τοι
695.5 δίκας ὑφέξειν ἀντὶ τῶνδ᾽ ἐθέσπισεν, πολὺν θαλάσσηι χρόνον ἐναιωρούμενον.
695.6 Οδ. κλαίειν ς᾽ ἄνωγα· καὶ δέδραχ᾽ ὅπερ λέγω.
695.7 ἐγὼ δ᾽ ἐπ᾽ ἀκτὰς εἶμι καὶ νεὼς σκάφος
695.8 ἥσω ᾽πὶ πόντον Σικελὸν ἔς τ᾽ ἐμὴν πάτραν.
695.9 Κυ. οὐ δῆτ᾽, ἐπεί σε τῆσδ᾽ ἀπορρήξας πέτρας
705.1 αὐτοῖσι συνναύταισι συντρίψω βαλών.
705.2 ἄνω δ᾽ ἐπ᾽ ὄχθον εἶμι, καίπερ ὢν τυφλός,
705.3 δι᾽ ἀμφιτρῆτος τῆσδε προσβαίνων ποδί.
705.4 Χο. ἡμεῖς δὲ συνναῦταί γε τοῦδ᾽ Ὀδυσσέως ὄντες τὸ λοιπὸν Βακχίωι δουλεύσομεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org